L. Bl. IV. 103.

21

21

# ΗΘΙΚΗΝ ΠΑΝΑΡΕΤΟΝ ΤΩΝ ΑΚΡΙΒΩΣ ΠΕΡΙΠΑΤΟΥΝΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ,

ἐν τῇ Παλαιοκώμησιν Ἀκαδημίᾳ

πρὸς διάλεξιν τὴν δημοσίᾳ

τῇ ἕκτῃ μεσοῦντος τοῦ Πυανεψιῶνος, ,αψθ,

καθέδρας τῆς Θεολογικῆς

ἐπιβιβάσουσιν

Ο ΠΡΟΣΤΑΤΗΣ

## ΧΡΙΣΤΟΦΟΡΟΣ Ο ΣΩΝΝΤΑΓΙΟΣ

ὁ τῆς Θεολογίας Πρωτοδιδάσκαλος καὶ Πρωτεκκλησιαστής,

ὁ τῶν Ἑλληνικῶν Ἐπιστάτης,

καὶ ὁ Θεσιοφύλαξ

## ΑΛΕΞΑΝΔΡΟΣ ΕΛΛΑΔΙΟΣ

Λαρισσαῖος ὁ Θεσσαλός.

---

Ἐκ μολυβδογραφείου τοῦ Ἰούστου Ὀιλλέλμου Κωλεσίου,

τοῦ Τυποθέτου Ἀκαδημικοῦ.

1709

Ad Bibl. Acad. Land.

Universitäts-Bibliothek München

# Α. Ω.

## Παράγραφος α.

Ἀναλογίαν τινὰ πειρώμενοι ἐπιδεῖξαι ἔνδον τῶν ἀρετῶν Ἀριστοτελείων καὶ Χριστιανῶν, οὐδὲν προὐργιαίτερον ἡγησαίμεθα ἂν τοῦ ἐξ ἀρχῆς σκέψασθαι, τὴν τάξιν τῶν Ἠθικῶν ἀρετῶν τηροῦντας, ἣν ἐν βίβλοις ταῖς Νικομαχικαῖς ὁ Σταγειρίτης διέσωσε, πῶς ἡ πανάρετος Ἠθική, ἑκτικῶς διακειμένη παρὰ Χριστιανοῖς, τοῖς ἀκριβῶς περιπατοῦσιν, ἤγουν τῇ ἀκριβείᾳ οὐ Περιπατητικῇ, ἀλλὰ Προφητικῇ καὶ Ἀποστολικῇ ἐπιφυομένοις, ὑπάρχει.

## β.

Καὶ ἡ ἀνδρεία μὲν (ἔνθεν γὰρ ἀρκτέον) δι' ἧς ἡ πίστις ἐστὶν ἐνεργουμένη, καὐτή ἐστι μεσότης ἢ ὀρθότης περὶ τὰ θαῤῥαλέα καὶ φοβερά, ἤγε, ὡς ἔπος εἰπεῖν καὶ τὰ πάθη ὀνομάζειν, περὶ φόβους καὶ θάῤῥη. Ἔσθ' ὅτε μὲν γὰρ φατέον ἅμα τῷ Χριστῷ· Ἀπόστρεψον τὴν μάχαιραν

εἰς τὸν τόπον αὐτῆς· Ἔσθ' ὅτε δὲ καὶ ῥητέον ἅμα τῷ Ἀποστόλῳ· Τυγχάνομεν ὄντες χριστιανοὶ, ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· Οὐδὲν δὲ διαφέρει, τὴν ἀνδρείαν τὴν πολεμικὴν τῆς εἰρηνικῆς διορίζειν, ἀνθ' ὧν πᾶς ὁ τῶν χριστιανῶν βίος οὐ καθέστηκεν ἄλλο τι, πλὴν τοῦ πολέμου. Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων.

γ.

Ἐπειδήπερ οὖν οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· διὰ τοῦτο ἀναληπτέον τὴν πανοπλίαν τοῦ Θεοῦ, τουτέστι, τὰ φυλακτήρια καὶ ἀμυντήρια. Τίνα πέφυκε τὰ φυλακτήρια; Περίζωμα τῆς ἀληθείας, θώραξ τῆς δικαιοσύνης, ὑποδήματα τῆς εἰρήνης, θυρεὸς τῆς πίστεως, καὶ περικεφαλαία τοῦ σωτηρίου. Τί δὲ τὸ ἀμυντήριον; Ἡ μάχαιρα τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Ὁμηρίζει ἡ λέξις (ἐξὸν εἰπεῖν) Ἰλιάδ. γ. στίχ. τλ.

Κνημῖδας μὲν πρῶτα περὶ κνήμησιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν.

Ταναγ-

Τἀναντία λεξείαμεν ἂν ταύτῃ τῇ ἀρετῇ, καθ᾽ ὑπερβολὴν μὲν θρασύτητα, ἧς παράδειγμα ὁ Πέτρος, ὁ τὴν μάχαιραν ἀποσπασάμενος, καθίσασθαι· κατ᾽ ἔλλειψιν δὲ ἡ δειλία, ἧς παράδειγμα ὁ αὐτὸς, ἄλλῳ τῷ χρόνῳ ὀλιγόπιστος, οἱονεὶ ἅμα τοῖς συμμαθηταῖς ἐν τῷ πλοίῳ. Μονονουχὶ μεμπτέον αὐτῷ θρασυδειλίας ἕνεκα.

δ.

Ἐχομένη τῆς ἀνδρείας παρὰ τῷ Φιλοσόφῳ ἐστὶν ἡ σωφροσύνη, ἡ μεσότης ἢ ὀρθότης περὶ ἡδονὰς ἁφῆς γεύσεώς τε καὶ λύπας οὐ πάσας, ἧττον δὲ περὶ τὰς λύπας. Ὁ Χριστιανὸς οὐ μόνον ἐν τῇ ἡδονῇ, ἀλλὰ καὶ ἐν τῇ λύπῃ μετριοπαθεῖν ἔμαθεν. Ἀνθ᾽ ὧν προστίθησιν· Ἡ σωφροσύνη σώζει τὴν φρόνησιν, τῇ μὲν ἐν τῷ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀπέχεσθαι, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τῇ δὲ ἐν τῷ τοῖς βρώμασι καὶ πόμασιν ὀρθῶς χρῆσθαι. Αὐτοῖς νομίμως χαίρειν, καὶ καρδίαν δὲ οὐ βαρύνειν, οὐδὲ τὸν πλησίον πρὸς τὴν αὐτῶν κατάχρησιν ἀναγκάζειν εἴωθεν. Ὁμοίως καὶ τῆς καθ᾽ ἁφὴν ἡδονῆς ἀφεκτέον, ἐν τῷ τὴν καρδίαν κλῆσθαι καθαρὰν, καὶ τῶν ἀφροδισίων ἐπιθυμιῶν ἄμοιρον, ἐν τῷ σαυροῦν τῆς σαρκὸς ἐπιθυμίας, καὶ φεύγειν πάσας τῆς πορνείας ἢ μοιχείας ἀφορμὰς, ὥστε μὴ εἶναι ἡμᾶς κακὰ θηρία, γαστέρας ἀργὰς, καθάπερ οἱ Κρῆτες ἐγενήθησαν φιλοδοιοῦτοι. Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία καὶ αἰσχρότης μηδὲ ὀνομαζέσθω ἐν ἡμῖν, καθὼς πρέπει ἁγίοις. Ἄκρα γὰρ, τῆς μεσότητος ταύτης ἀπόντα, λέγομεν ὑπερβολικῶς μὲν τὴν ἀκολασίαν, ἐλλειπτικῶς δὲ τὴν ἀναισθησίαν.

 Κεκο-

Κεκολασμένον δὴ τὸ ἐμφυὲς ἦθος εἶναι προσήκει, ὃ ἄλλοτε οὔτ' αἴθουσα ἡ ἀλώπηξ, οὔτ' ἐρίβρομοι λέοντες καὶ τὸ τοῦ Πανδάρου γνωστὸν διαλλάξαιντο. Καὶ ηὔξατό τις Φιλόξενος Ἐρύξιος, ὀψοφάγος ὤν, τὸν φάρυγγα αὐτῷ μακρότερον γεράνου γενέσθαι.

ε.

Μετέπειτα περὶ ἐλευθεριότητος, φέρε, σκεψόμεθα. Αὕτη δ' ὑπὸ τῶν Περιπατητικῶν ὁρίζεται μεσότης περὶ δόσιν καὶ λῆψιν χρημάτων μικρῶν μετριωντε. Διστάξειεν ἄν τις ἐνθάδε, ποῖον τὸν τρόπον ἐν τῇ λήψει χρημάτων καθέστηκεν ἡ ἐλευθεριότης; Τούτῳ μοι ἀντερίσαντι ἔγωγε ἀποκριθείην ἄν, ὅτι ἐμμέσως καὶ ἰσοδυναμούντως, μᾶλλον δὲ καὶ ἀρνητικῶς, ἐν τῷ λαμβάνειν τὰ χρήματα οἷοί τ' ἐσμὲν ἐλευθέριοι τυγχάνειν. Οὐ γὰρ λαμβάνοντες πλείονα τοῦ δέοντος, ἐμμέσως καὶ ἰσοδυναμούντως δίδομεν ἐκεῖνα τὰ χρήματα. Διαφέρει δ' ἡ ἐλεημοσύνη ἐλευθεριότητος, ὡς αἴτιον τοῦ αἰτιατοῦ. Ἡ μὲν γὰρ πάθημα τῆς καρδίας· ἡ δὲ ἐνέργημα τῆς χειρὸς ἔοικεν ὑπάρχειν. Συνέδραμε δ' ἀμφότερα ἀποτελεσματικῶς. Καὶ τόδε συνίστησιν ὁ Παῦλος, ὁ ἐργάζεσθαι κελεύσας ταῖς χερσὶ τὸ ἀγαθὸν, ἵνα ἔχωμεν μεταδιδόναι τῷ χρείαν ἔχοντι, ἤγε τῷ φίλῳ, ἤγε τῷ ἐχθρῷ, ὃν ψωμίζειν, διαφερόντως καλόν.

ϛ.

Παραπλησίως τὸν Τιμόθεον ἐθέλει παραγγέλλειν τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι, εὐμεταδότους εἶναι, κοινωνικοὺς, ἀποθησαυρίζοντας

ἑαυτοῖς

ἑαυτοῖς θέμελιον καλὸν εἰς τὸ μέλλον. Τοιῦτο δὲ τῆς μεγαλοπρεπείας ἔργον εἶναι φαίνεται, τῆς περὶ τὰ χρήματα μεγάλα μεσότητος, τῆς περὶ τὰς δαπανηρὰς ἐν χρήμασι πράξεις ἐν μεγέθει πρεπούσης, τῆς τῶν πλουσίων, καὶ οὐ τυχόντων, ἰδίας. Καθάπερ γοῦν τὸ ὑπερβάλλον τῆς μὲν ἐλευθεριότητος ἡ ἀσωτία (ἡ οὐ μόνον ἀπολαυστικὴ, ἀλλὰ καὶ δαπανητικὴ καὶ διασκορπιστικὴ, οἷον τοῦ Ακολάστου) τῆς δὲ μεγαλοπρεπείας ἡ βαναυσία καθέστηκεν· Οὕτω τῆς μὲν ἐλλεῖπον τὴν ἀνελευθερίαν, τῆς δὲ τὴν μικροπρέπειαν ὀνομαστέον. Τοιοῦτος ἐγένετο ὁ Πλούσιος εἰς τὸν Λάζαρον, ὁ τὰ σπλάγχνα ἑαυτοῦ κλείσας, ἄλλοιτε οἱ γλίσχροι καὶ κυμινοπρίσται.

ζ.

Ἕπεται ἐν τῷ τῶν ἀρετῶν Ηθικῶν χορῷ τῷ μετριοπαθητικῷ ἡ φιλοτιμία, ἡ περὶ τιμὴν καὶ ἀτιμίαν μετρίαν ἢ μικρὰν μεσότης, ἡ καθεστηκυῖα ἐν ὀρέξει τιμῆς θεόθεν ἀπονεμηθείσης, καὶ οὐκ ἰδιολήπτου (ἄλλοτε γὰρ προηγεῖται τῇ τιμῇ τοὺς ἄλλους, εἰδυῖα, ὅτι οὐ τιμωμένους, ἀλλὰ τιμῶντος ἡ ἀρετὴ, καὶ τοῖς μικροῖς καὶ ταπεινοῖς συναπάγεται) ἐάν τις γλίχηται τοῦ εὐδοκιμεῖν, ἀντιποιῆται καλῆς ἀναστροφῆς, ἀπροσκόπτου συνειδήσεως, καὶ πολιτείας ἀνυποκρίτου παρὰ Θεῷ καὶ ἀνθρώποις. Καθεστηκυῖα ἐν ἐκζητήσει τιμῆς καλοκἀγαθῆς, καὶ εὐφημίας ἀθρύπτου, τῶν ἐπιθυμούντων οὐ μόνον εἶναι, ἀλλὰ καὶ δοξάζεσθαι, ὅτι πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι τυγχάνουσιν ὄντες.

Βαδίζει

Βαδίζει δὲ ἡ εὐσχήμονος τοῦ βουλευτοῦ τοῦ Ἰωσὴφ φιλοτιμία ἡ εὔκοσμος ἔνδον τῆς κενοδοξίας, παρ' ᾗ εὑρίσκεται ἡ ἀλαζονεία καὶ δοκησισοφία τῶν φιλοτιμουμένων καὶ ὑψηλὰ φρονούντων, καὶ ἔνδον τῆς ἀφιλοτιμίας, ἧς κωλύει καὶ ἀποδοκιμάζει ὁ Ἀπόστολος, μαρτυρούμενον συνιστὰς τὸν τῶν μυστηρίων Θεοῦ οἰκονόμον, καὶ τύπον τῶν πιστῶν ἐν λόγῳ ἀκαταφρόνητον καὶ ἀπεριφρόνητον.

η.

Οὐ κατ' οὐσίαν ποιότητος, ἀλλὰ καὶ τὸ ποσὸν ἐξόχως διάκειται ἡ μεγαλοψυχία (Ἔστι δὴ μεγαλόψυχος τῷ μὲν μεγέθει ἄκρος, τῷ δὲ, ὡς δεῖ, μέσος) ἡ περὶ τιμὴν καὶ ἀτιμίαν μεγάλην μεσότης. Ἐπλημμέλησε καὶ ἥμαρτε τοῦ δέοντος ὁ Ἀριστοτέλης, ὁ λέξας, ὅτι τὸ τὸν προπηλακιζόμενον ἀνέχεσθαι, καὶ τοὺς οἰκείους περιορᾷν ἀνδραποδῶδες ὑπάρχει. Πλὴν ἰδοὺ, ὁ Χριστὸς, ὁ τοὺς ἐχθροὺς ἀγαπήσας, καὶ αὐτῶν ὑπερεντεύξας, κορυφὰν ἀπὸ πασᾶν ἀρετᾶν ἔδρεψε. Κἀκείνου τὸν τρόπον οἱ Χριστιανοὶ τὴν ἐντολὴν αὐτοῦ καινὴν ἔχουσιν. Οὐ μὴν ἀλλ' ἐν τούτῳ πεφανέρωται ἡ μεγαλοψυχία, ὥστε ἐν τῷ τὰ καθήκοντα ἐπιτελέσαι καὶ τούτου χάριν ἀδημονεῖν οὐδὲν τὸ ἐπικίνδυνον φοβεῖσθαι, ἀλλὰ πεπαρρησιασμένως καὶ μετὰ πεποιθήσεως ἑδραῖον γίνεσθαι, ἀμετακίνητον, περισσεύοντα ἐν τῷ ἔργῳ Κυρίου πάντοτε, ἀμετάπτωτον καὶ τελεάγωνον ἄνευ ψόγου, οὔτε μόνον ἄρξασθαι τοῦ ἀγαθοῦ, ἀλλὰ καὶ ὑπομεῖναι εἰς τέλος. Ἐκτικῶς τοίνυν διάκειται ἡ μεγαλοψυχία τῇ μὲν γενικώτερον πρὸς πάντα τἀγαθὰ, τῇ δ' εἰδικώτερον πρὸς τὰς τιμὰς, δήπου ἐξοχώτατον

τῶν

τῶν ἔξω ἀγαθῶν. Τὸ λοιπὸν, φανερόφιλος καὶ φανερόμισος τυγχάνει. Ἀντίθετα δὲ τῆς ἀρετῆς τοσαύτης ὑπάρχει χαυνότης καὶ μικροψυχία. Πολλοὶ γὰρ, τὰ τῶν ἡρώων μετὰ κακοζηλίας μιμούμενοι, τῇ χαυνότητι ἐμπεσόντες, τὸ τέλος ἀνέλπιστοι οἱ πυγμαῖοι ὄντες τυγχάνουσιν. Ἐγγυτέρα δὲ τῇ ἀρετῇ τηλικαύτη ἡ ἔλλειψις, ἐπειδὰν οἱ φίλαυτοι μᾶλλον χαῦνοι, ἢ μικρόψυχοι εἰώθασιν ὑπάρχειν.

θ.

Προεληλακότες νῦν ἄχρι τῆς πραότητος, φράζομεν αὐτὴν μεσότητα περὶ ὀργάς. Ἡ δὲ ὀργὴ φυσικῶς μὲν, ζέσις τοῦ αἵματος, ἠθικῶς δὲ, ὄρεξις τῆς ἀντιλυπήσεως ἂν ὀνομασθείη. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, λέγει ὁ Ψάλτης. Ὁ ἥλιος μὴ ἐπιδυέτω τῷ παροργισμῷ. Διόπερ ὀργίζεσθαι, καὶ ἁμαρτάνειν, ἐνδεχόμενον. Διὰ δὲ αὐτὴν τὴν ὀργὴν, ὡς διὰ πάθος, οὔτε ἐπαινούμεθα, οὔτε ψεγόμεθα. Ἐνδεχόμενον δὲ καὶ ἁμαρτάνειν ἐν τῷ μὴ ὀργίζεσθαι. Τοιγαροῦν οὐδέτερόν ἐστιν ὀρθὸν, ἀμφότερον δὲ φευκτὸν καὶ σκολιὸν, τὰ ἄκρα φημὶ, ὧν ἡ μὲν ὀργιλότης· ἡ δὲ ἀοργησία. Περιμάχητον τὸ μέσον, καὶ ἐφικτόν· ἑατέον δὲ τὴν ὑπερβολὴν πάντοτε. Ἑατέον τὴν ὀξυχολίαν τῶν μὲν ταχέως ὀργιζομένων, καὶ οἷς οὐ δεῖ, καὶ μᾶλλον, ἢ δεῖ, ταχέως δὲ ἀποφλεγμαινόντων καὶ παυομένων ὀργῆς. Χρὴ γὰρ φιμῶσαι καὶ θανατῶσαι τὴν σάρκα τιμωρητικὴν καὶ θυμώδη. Ἑατέον τὴν πικρίαν τῶν δυσδιαλύτων, καὶ πολὺν χρόνον νεμεσήμονα θυμὸν πέψαι πεφυκότων. Παῦλα δὲ γίνεται αὐτοῖς τὰ ἀδικήματα, ὅταν ἀποδιδῷ. Ἡ γὰρ τιμωρία παύει τῆς ὀργῆς,

ἡδονὴν ἀντὶ τῆς λύπης ἐμποιοῦσα. Ἐατέον ὡς ὅτι μάλιστα καὶ τὴν χαλεπότητα τῶν μὴ ἀλλαττομένων ἄνευ τιμωρίας ἢ κολάσεως. Ἐατέον τέλος καὶ τὴν ἀοργησίαν, ἧς χάριν ἡ γραφὴ καὶ τῷ Ἠλὶ ἐγκαλεῖ. Ἔσθ' ὅτε δὲ οἱ μὴ ὀργιζόμενοι ἠλίθιοι δοκοῦσιν εἶναι, καὶ οὐκ αἰσθάνεσθαι, οὐδὲ λυπεῖσθαι, καὶ παντάπασιν οὐκ εἶναι ἀμυντικοί.

ι.

Κεφάλαιον τῶν εἰρημένων. Ὁ Πρᾶος τῇ μὲν ἀφεκτικὸς· τῇ δὲ ἀνεκτικὸς ὢν τυγχάνει. Ἀπέχεται γὰρ τῆς ταχυπαθείας καὶ ταχυλογίας, γενόμενος ταχὺς μὲν πρὸς τὸ ἀκούειν, βραδὺς δὲ πρὸς τὸ λαλεῖν (ἐφ' ᾧ πολλοὶ λαλήσαντες μετενόησαν, σιγήσας δὲ οὐδεὶς ῥᾶσα) βραδὺς δὲ πρὸς ὀργήν. Καθάπερ καὶ ὁ νέος ὁ Βασιλεὺς, ὁ Σαοὺλ, προσεποιήσατο, ὡς παρακούσας τῶν λοιδορῶν. Ἀπέχεται τοῦ ἑαυτὸν ἐκδικεῖν, τόπον διδοὺς τῇ ὀργῇ. Ἀνέχεται δὲ τοῦ πονηροῦ, μὴ ἀντιστὰς, ἀλλὰ ῥαπισθεὶς ἐπὶ τὴν δεξιὰν αὐτοῦ σιαγόνα, στρέφει καὶ τὴν ἄλλην, ἀγγαρευόμενος μίλιον ἓν, ὑπάγει δύο. Οὕτως ἡ σκιρτῶσα φιλαυτία πωλοδαμνεῖται. Οὕτως ἄνθρακες πυρὸς ἐπὶ τὴν κεφαλὴν τοῦ ἀντιδίκου καὶ ἀντιπάλου σωρεύονται. Οὕτως οὐ νικώμεθα ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νικῶμεν ἐν τῷ ἀγαθῷ τὸ κακόν. Οὕτω καταρτίζομεν τοὺς ἐν τῷ παραπτώματι προληφθέντας, καὶ τροποφοροῦμεν, εἰδότες ὄφλειν, καὶ προσχρῶντες τὸ πρᾶον, κατὰ τὸν Γρηγόριον τὸν Θεολόγον.

ια.

Αέλειπται ἡ δικαιοσύνη, τῇ μὲν ὅλῃ, ἢ καθόλυ, ἐν ᾗ κατὰ τ̃ Θεόγνιδος λόγον πανακήρατον συλλήβδην πᾶσ' ἀρετή 'ςι, ϗ αὕτη ἀρετὴ τελεία, ἐ μὴν ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον, ὃν τρόπον Σιμεὼν δίκαιος ϗ εὐλαβὴς ἡμῖν ἐν ἁγίᾳ γραφῇ συνιςάνεται, ὥςε σιωπᾷν περὶ τ̃ λοιπῶν· τῇ δὲ ἐν μέρει, ἥ ἐςι μεσότης περὶ τὸ τὰ δέοντα ἀπονέμειν ἑκάςῳ, καὶ ζῆν εὐσεβῶς, πρὸς τὸν Θεὸν, δικαίως, πρὸς τ̃ πλησίον, σωφρόνως, πρὸς ἑαυτόν. Παντελὴς ϗ ὁλόκληρος αὕτη ἡ δικαιοπραγία τῶν βυλομένων ἀμέμπτως ζῆν ἐν βίῳ, ϗ μηδένα ἀδικεῖν προαιρυμένων. Οὔτε τὰ πρῶτα, ὔτε τὰ δεύτερα κτ̃ τ̃ φύσιν παραβαίνειν προσήκει. Ἐν τῇ δὲ κτ̃ Θεὸν πολιτείᾳ ἀπαρνεῖσθαι ἑαυτὸν, ϗ τῷ τῦ χρισῦ ὑπογραμμῷ ἕπεσθαι καθήκει. Ἀνενδοιάςως ὕτω λαχήσομεν τῆς ἀναλογίας Γεωμετρικῆς ϗ Ἀριθμητικῆς ἐν ἀνθρωπίνοις· φεύξομεν δὲ τ̃ δεισιδαιμονίαν ἢ ἐθελοθρησκείαν ἐν θείοις, ὔτ' ἐν ὑπερβολῇ, ὔτ' ἐν ἐλλείψει δικαιοσύνης ἅπτεσθαι μέλλοντες. Ἅλις πρὸς τὸ παρόν, ἵνα μηδὲν λέγω περὶ τύτυ, ὅτι ἐν τῇ καινῇ Διαθήκῃ ἐκτὸς τῶν λεγομένων εὑρίσκεται ϗ ἄλλα τῶν ΡΗΜΑΤΩΝ ΗΘΙΚΩΝ, οἱονεὶ, ἀσέλγεια, πλεονέκτημα, ἐπιεικὲς, αἰσχροκέρδεια, ἄςοργοι, αὐθάδεια, φιλανθρωπία, χρηςότης, ἑκυσίως, προαίρεσις, εἰλικρίνεια, φιλονεικία, ταπεινοφροσύνη, ἰσότης, σεμνότης, ζηλωτὴς, εὐλάβεια. Τίς γὺν ἀρνήσαιτο ἂν, ἠθικὴν πανάρετον τῶν ἀκριβῶς περιπατύντων Χριςιανῶν ἐνταῦθα εὑρεθῆναι;

ιβ.

ιβ.

Ὁμόφωνα καὶ συνῳδά, ΤΑ ΦΙΛΟΣΟΦΙΚΩΣ ΛΕΓΟΜΕΝΑ ἐν καινῇ τῇ Διαθήκῃ, ἔχει Βαλθάσαρος ὁ Μένζιος. οἷον ΛΟΓΙΚΑ ἢ Διαλεκτικὰ, παραλογισμὸς, ἔλεγχος, τεκμήριον, ἕξις, ἀφορμὴ, συζήτησις· ΡΗΤΟΡΙΚΟΝ, τὸ, ἅτινά ἐστιν ἀλληγορούμενα. ΑΡΙΘΜΗΤΙΚΑ, ἐπιβάλλον μέρος, λογίζομαι, λόγος δόσεως καὶ λήψεως. ΓΕΩΜΕΤΡΙΚΑ, μῆκος, βάθος, πλάτος, ὕψος, στερέωμα, στάδιον, συσχηματίζεσθαι, ἀποκατάστασις. ΓΕΩΓΡΑΦΙΚΟΝ, τὸ κλίμα. ΔΙΚΑΝΙΚΑ καὶ ΠΟΛΙΤΙΚΑ, ἐπερώτημα, ἀῤῥαβὼν, παράκλητος, ἀνέγκλητος, χειρόγραφον, ἀτιμία, διαθήκη, παρακαταθήκη, ἀπολογία, ἁρπαγμὸς, κοινωνία, αὐθεντεῖν, πρόκριμα, ἔγγυος, προθεσμία, ἀπόταξις, ἀνάκρισις.

ιγ.

ΦΥΣΙΚΑ τέλος καὶ ΙΑΤΡΙΚΑ ἀναγινώσκεται ἐνταῦθα τὰ ῥήματα, τὰ ὑπὸ ξυγγραφέων τῶν θεοπνεύστων ἁγιαζόμενα· Πώρωσις, καταρτισμὸς, θρόμβος, σπλάγχνα, θάλπειν, κόλλα, σύνδεσμος, θυμὸς, σκύβαλα, τυφῶν, γάγγραινα, φαρμακεία, ὑπωπιάζειν, συμπάθεια, φρένες, ἔκτρωμα, εὐωδία, μαργαρίτης, ζύμη, καυτήριον, συκομωραία, κρᾶσις, στερεὰ τροφὴ, αἰσθητήριον, στόμαχος, ἀναζωπυρεῖν, ἁρμὴ, μυελὸς, τράχηλος, παροξυσμὸς, φοίνιξ, νάρδος, ἀλάβαστρον, ζιζάνια, σῖτος, ψυχικός. Ταῦτα οὖν, καὶ πλείω τὰ ῥήματα, θεωρητικῶς μὲν φιλοσοφικὰ, πρακτικῶς δὲ θεολογικὰ, βιβλικὰ, καὶ θεόπνευστα καθέστηκεν.